σιν, ὥσπερ τὰ λινόπληκτα τῶν θηρίων. ἐγὼ δὲ σκοπεῖν
ἔφην χρῆναι, μὴ τοὐναντίον ἐστὶ τοῦ δοκοῦντος· οὐ γὰρ B
γίνεσθαι δρομικωτέρους τοὺς πώλους, ὅταν ἐκφύγωσι τὰς
βλάβας τῶν θηρίων ἐπιχειρηθέντες, ἀλλ' οὐκ ἂν ἐκφυγεῖν,
εἰ μὴ φύσει θυμικοὶ καὶ ταχεῖς ἦσαν· οὐδὲ γὰρ τὸν
Ὀδυσσέα γενέσθαι φρόνιμον ὑπεκδράντα τοῦ Κύκλωπος,
ἀλλ' ὅτι τοιοῦτος ἦν ὑπεκδρᾶναι.

## ΠΡΟΒΛΗΜΑ Θ

*Διὰ τί τὰ λυκόβρωτα τῶν προβάτων τὸ κρέας μὲν γλυκύτερον τὸ δ' ἔριον φθειροποιὸν ἴσχει*

Collocuntur Patrocleas, Plutarchus, alii

**1.** *Μετὰ* τοῦτο περὶ τῶν λυκοβρώτων ἐζητεῖτο προ-
βάτων, ἃ λέγεται τὸ μὲν κρέας γλυκύτατον παρέχειν τὸ
δ' ἔριον φθειροποιόν. οὐ φαύλως οὖν ἐδόκει Πατρο- C
κλέας ὁ γαμβρὸς ἐπιχειρεῖν περὶ τῆς γλυκύτητος, ὡς τοῦ
θηρίου τῷ δήγματι τὴν σάρκα τακερὰν ποιοῦντος· καὶ γὰρ
εἶναι τὸ πνεῦμα τοῦ λύκου περίθερμον οὕτω καὶ πυρῶδες,
ὥστε τὰ σκληρότατα τῶν ὀστῶν ἐν τῇ κοιλίᾳ τήκειν καὶ
καθυγραίνειν· διὸ καὶ σήπεσθαι τὰ λυκόβρωτα τῶν ἄλλων
τάχιον. περὶ δὲ τῶν ἐρίων διηποροῦμεν, μήποτ' οὐ
γεννᾷ τοὺς φθεῖρας ἀλλ' ἐκκαλεῖται, τραχύτητός τινος
ἀμυκτικῆς ἢ θερμότητος ἰδιότητι διακρίνοντα τὴν σάρκα·
ταύτην δὲ τοῖς ἐρίοις τὴν δύναμιν ἐγγίνεσθαι πρὸς τὸ τοῦ
λύκου δῆγμα καὶ τὸ πνεῦμα μεταβάλλοντος ἄχρι τῶν D
τριχῶν τοῦ σφαττομένου. καὶ συνεβάλλετο τῷ λόγῳ